UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Eidem. 21.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

ἀπαιδεύτως οἱ δύο ἄνδρες οἱ μετὰ τὴν τοῦ χριστοῦ παρουσίαν συγγραφεῖς παρ' ὑμῖν γεγονότες Φίλων ὁ θεωρητικώτατος, καὶ Ἰώσηπος ὁ ἱστορικώτατος. ὁ μὲν πᾶσαν σχεδὸν τὴν παλαιάν, εἰς ἀλληγορίαν τρέπων, ὁ δὲ διαῤῥήδην γράφων, τὰ μὲν αἰνιττομένου τοῦ νομοθέτου δεξιῶς. τὰ δὲ, ἀλληγοροῦντος μετὰ σεμνότητος. ὅσα δ' ἐξ εὐθείας λέγεσθαι συνέφερε, ταῦτα ῥητῶς ἐμφανίζοντος. εἰ μὲν γὰρ προενέγκοιμεν προφητικὰς ῥήσεις τοῦτο ἐγγυωμένας, παρερμηνεῦσαι καὶ παραποιῆσαι οὐκ ὀκνήσουσιν. εἰ δ' ἀποστολικὰς ἀποφάσεις τε, καὶ ἀποδείξεις, καὶ ἑρμηνείας παραχαράττεσθαι τολμήσουσι δυσσεβῶς. τὰς δὲ τῶν παρ' αὐτοῖς δοξάντων σοφῶν μαρτυρίας παραχαράττεσθαι, οὐκ ἂν εἶεν δίκαιοι.

Ἑρμογένει ἐπισκόπῳ. κ.

Τῆς θείας καὶ τῆς ἀνθρωπίνης φύσεως ἡ ἱερωσύνη ὥσπερ μέση καθέστηκεν, ἵνα τὴν μὲν θεραπεύῃ, τῇ δὲ μεταβολὴν ἐργάζηται κρείττονα. εἴ τις τοιγαροῦν ταύτης μεῖζον φρονεῖ, οὐδὲ φρόνησιν ἔχειν μοι δοκεῖ.

Τῷ αὐτῷ. κα.

Οἱ ἅγιοι, ὦ σοφώτατε, τὰς ὑπὲρ τῆς ἀρετῆς τῶν κινδύνων ὑπερβολὰς, ἐφόδιον μείζονος εὐδοκιμήσεως ἔχουσιν.

Ἰσιδώρῳ διακόνῳ. κβ.

Ὥσπερ ἵνα καὶ ἐναργεῖ παραδείγματι χρήσωμαι, Ἱερουσαλὴμ. ὅτε μὲν τῇ θείᾳ συμμαχίᾳ ὥπλιστο, ὀρθὴ ἑστῶσα ἀπονητί τε καὶ ἀναιμακτὶ τὰ τρόπαια ἵστη. ὅτε δὲ ταύτης διὰ τὸ ἐπιλυττῆσαι κατ' αὐτῆς, ἐστέρητο, πῦρ πολέμιον αὐτὴν ῥαδίως ἔκλινεν. οὕτω καὶ ψυχὴ, ὅταν μὲν τῇ ἄνωθεν ῥοπῇ δι' εὐστάθειαν τρόπων περιφράττηται, ῥα-

Christi aduẽtum apud vos literarum monumenta condiderunt, nimirũ Philo contemplator egregius, & Iosephus insignis historicus: ille, dum vniuersum penè vetus instrumentum ad allegoriam trahit, hic dum ad hunc modum loquitur: Legislatore alia commodè ac scitè innuente, alia cum grauitate allegorico sensu exponẽte, ea denique omnia, quæ rectè ac planè dici vtile erat, ad literam indicante. Nam si propheticas voces, quibus id confirmetur, proferamus, eas peruersa interpretatione intorquere ac deprauare minimè videbũtur. Atque item si Apostolicas sententias, & demõstrationes atque interpretationes, eas impiè reiicere, haudquaquam dubitabunt. At eorum, qui apud ipsos sapientiæ atque doctrinæ existimatione floruerunt, testimonia ab ipsis repudiari, haud profectò æquum fuerit.

*Hermogeni Episcopo.* 20.

Inter diuinam & humanam naturam sacerdotium velut medium interiectum est, vt illam colat atque obseruet, hanc autem in melius commutet. Quocirca si quis eo sublimiùs sentit, ne mẽtis quidem & prudentiæ particeps esse mihi videtur.

*Eidem.* 21.

Viris sanctis, sapientissime vir, grauissima quæque pericula, quæ virtutis causa adeunt, maioris gloriæ materiã præbent.

*Isidoro Diacono.* 22.

Quemadmodum Hierusalem (vt perspicuo exẽplo vtar) cùm diuino auxilio munita & armata erat, recta stans citra laborẽ & cruorem trophæa statuebat, cum autem hac, propterea quòd aduersus eã insaniisset, sese spoliabat, hostilium flamma eam nullo negotio prosternebat: eodem modo anima quoque, si diuina ope propter morum constantiam ac modestiam septa &